δοῦσ' ὡς τάχιστα τῆς πάλιν μέμνησ' ὁδοῦ.
*ΗΛ.* ὦ φύσις, ἐν ἀνθρώποισιν ὡς μέγ' εἶ κακόν,
σωτήριόν τε τοῖς καλῶς κεκτημένοις.
εἴδετε γὰρ ἄκρας ὡς ἀπέθρισεν τρίχας,
σῴζουσα κάλλος; ἔστι δ' ἡ πάλαι γυνή.
θεοί σε μισήσειαν, ὥς μ' ἀπώλεσας
καὶ τόνδε πᾶσάν θ' Ἑλλάδ'. ὦ τάλαιν' ἐγώ·
αἵδ' αὖ πάρεισι τοῖς ἐμοῖς θρηνήμασι
φίλαι ξυνῳδοί· τάχα μεταστήσουσ' ὕπνου
τόνδ' ἡσυχάζοντ', ὄμμα δ' ἐκτήξουσ' ἐμὸν
δακρύοις, ἀδελφὸν ὅταν ὁρῶ μεμηνότα.
ὦ φίλταται γυναῖκες, ἡσύχῳ ποδὶ
χωρεῖτε, μὴ ψοφεῖτε, μηδ' ἔστω κτύπος.
φιλία γὰρ ἡ σὴ πρευμενὴς μέν, ἀλλ' ἐμοὶ
τόνδ' ἐξεγεῖραι συμφορὰ γενήσεται.

ΧΟΡΟΣ.

σῖγα σῖγα, λεπτὸν ἴχνος ἀρβύλης stroph.
τίθετε, μὴ κτυπεῖτ'.
*ΗΛ.* ἀποπρὸ βᾶτ' ἐκεῖσ', ἀποπρό μοι κοίτας.
*ΧΟ.* ἰδού, πείθομαι.
*ΗΛ.* ἆ ἆ σύριγγος ὅπως πνοὰ
λεπτοῦ δόνακος, ὦ φίλα, φώνει μοι.
*ΧΟ.* ἴδ', ἀτρεμαῖον ὡς ὑπόροφον φέρω

---

127 *σωτήριος B* | fort. *σωτήριον δὲ τοῖς καλὴν* (*καλὴν* etiam Herwerden) | versum delet Klinkenberg 128 *ἴδετε L* et schol. Aesch. Ag. 541 | *γὰρ*] Duport, *παρ'* libri | *ἀπέθρισεν Aa*, *ἀπέθρισε BE*, *ἀπέθριξε S* et schol. Ag. | *τρίχι* superscr. *ας E* 130 *μισήσειεν A* 131 *ἑλλάδα AL* 134 *ἡσυχάζοντα B* 135 v. suspectus 137 *μὴ κτυπεῖτε B* 140 *ΧΟ.* libri, nisi quod $\overset{o}{\chi}$ rescr. et *ἡμι* praefixit $a^3$, Electrae tribuunt Dionys. de comp. verb. c. 11, Diog. L. VII 172, alterum argumentum lin. 44 | *σῖγα σῖγα G*, *σίγα σίγα* ceteri (*σιγᾶ σιγᾶ B*, *σίγα σίγα b*) | *λευκὸν B*, superscr. *γρ. λεπτόν b*, *λευκὸν a*, *λεπτὸν* $a^3$, *λεπτὸν* ceteri, cfr. schol. *λεπτὸν ἴχνος ἀρβύλης . . εἰ δὲ γράφεται λευκόν κτέ.* 141 *τίθετε*] Porson, *τιθεῖτε AaES*, *ψοφεῖτε* (*τιθεῖτε* superscr. schol.) *B* | *κτυπεῖτ'*] *κτυπεῖτε, μηδ' ἔσω κτύπος* libri, verba *μηδ' ἔστω κτύπος* om. Dionys. l. l., cfr. 137 142 *ἀπόπρο βᾶτ' BS*, *ἄπο προβᾶτ'* (vel *πρόβατ'* vel *πρόβατε*) ceteri 143 *ἐκεῖσ' G*, *ἐκεῖσε* ceteri 145 *ἃ ἃ B*, *ἀᾶ* Dindorf 145 sq. *ἆ ἆ* ⟨*μικρότερα* vel *ἰσχνότερα*⟩ *φώνει μοι λεπτοῦ δόνακος, ὦ φίλα, ὅπως πνοά* (deleto glossemate *σύριγγος*) Weil 147 *ἀτρεμαῖον* $AaB^2$, *ἀτρεμαῖαν* $A^2a^3BES$ | *ὑπώροφον* factum ex *ὑπόροφον* in *L*, *ὑπώροφον* ceteri